www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

## ΑΝΤΩΝΙΟΝ ΤΟΝ ΝΕΟΝ ΤΗΣ ΒΕΡΡΟΙΑΣ

«Εὐλογητός...», «Κύριε εἰσάκουσον...», τὸ «Θεὸς Κύριος...» (σελ. 5—7) καὶ τὸ Τροπάριον.

Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ταχὺ προκατάλαβε, Πάτερ Ἀντώνιε, καὶ σῶσον τοὺς δούλους σου τῶν ἐνεστώτων δεινῶν, καὶ θλίψεων· ἔχεις γὰρ πρὸς τὸν κτίστην, καὶ Θεὸν παρρησίαν. Πάρεσο οὖν ἐν τάχει, τοῖς πιστῶς σε καλοῦσι, τὴν σὴν νῦν προστασίαν, καὶ σκέπην δωρούμενος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ, καὶ Θεῷ, Κυρία πανάχραντε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων. Σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση παρθένε, τῶν νῦν ἐφοπλιζομένων κατὰ τῶν δούλων σου.

www.tezaurliturgic.ro

Ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Τὸ ὄμμα καθάρας σου τῆς ψυχῆς, καὶ τῆς διανοίας, οἶκος γέγονας τοῦ Θεοῦ, Ἀντώνιε μάκαρ τῷ τε θρόνῳ, σὺν παρρησίᾳ πολλῇ νῦν παρίστασαι.

Ηὐξήθης ὡς φοῖνιξ δαβιτικῶς, δικαίως βιώσας, ὡς τὸ ὄντως ὂν ἐφετόν, ἐκ βρέφους ποθήσας, Πάτερ, θεῖε, καὶ πρὸς μονὰς οὐρανοῦ μεταβέβηκας.

Ναὸν κατεσκεύασας σεαυτόν, τῆς σεπτῆς Τριάδος, ἐγκρατείᾳ καὶ προσευχῇ, καὶ νηστείᾳ Πάτερ, ὅθεν χάριν, τῶν ἰαμάτων ἀξίως ἀπείληφας.

Θεοτοκίον.

Ὁ πᾶσαν τὴν κτίσιν οἷα Θεός, δρακὶ περιέπων, καθωράθη περιγραπτός, ἐκ σοῦ κόρη θέλων συντριβεῖσαν, φύσιν βροτῶν ἀναπλάσαι ὡς εὔσπλαγχνος.

Ὠδὴ γ΄ Οὐρανίας ἁψῖδος.

Χαρμονῆς τυχὼν θείας, παρὰ Θεῷ ἅγιε, ταύτην ἀμοιβὴν τῶν σῶν πόνων ὥσπερ εὑράμενος, τῶν ἀνυμνούντων σε, ψυχὰς χαρίτωσον Πάτερ, πόρρω ἀπωθούμενος πᾶσαν κατήφειαν.

Ἀναβὰς εἰς τὸ ὄρος, τῶν ἀρετῶν ἅγιε, θείας θεωρίας ὡς πάλαι, Μωσῆς ἠξίωσας· δι' ὃ καὶ εἴληφας, τῶν ἰαμάτων τὴν χάριν, ἣν παρέχεις πάντοτε τοῖς σοὶ προστρέχουσι.

Ραθυμίας ἁπάσης, βιωτικῆς ἅγιε, ταῖς πρὸς τὸν Θεόν σου πρεσβείαις πάντας ἀπάλλαξον· καὶ καταξίωσον, πρὸς τρίβους βαίνειν εὐθείας, ἀπροσκόπτως πάντοτε θείοις προστάγμασι.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἱκετεύω παρθένε, τὴν τῶν κακῶν ἔφοδον, τῶν ἐπερχομένων ἀθρόων, ἐμοὶ τῷ δούλῳ σου, ἐξ ἀοράτων τε, καὶ ὁρατῶν ἐχθρῶν κόρη, ὡς μακρὰν ἀπέλασον τῇ μεσιτείᾳ σου.

Ὁ Ἱερεὺς μνημονεύει τῶν ὑπὲρ ὧν ἡ Παράκλησις.
Εἶτα Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Τὴν πηγὴν τῶν θαυμάτων παρὰ Θεοῦ, τὴν δοθεῖσαν τῷ κόσμῳ τὸν θαυμαστόν, καὶ θεῖον Ἀντώνιον, ἀσκητῶν τὸ ὡραΐσμα, ἡσυχαστῶν τὸ κλέος, Βερροίας τὸ καύχημα, τῶν ἐν νόσοις ἁπάντων, τὸ μέγα προσφύγιον, πάντες κατὰ χρέος, εὐφημήσωμεν ὅτι, κἂν ταῦτα τοῖς πάσχουσι, χορηγεῖ τὰ ἰάματα, καὶ Θεῷ παριστάμενος, πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς μετὰ πόθου τελοῦσι, τὴν θείαν μνήμην αὐτοῦ.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἱκεσίαις σου λύτρωσαι, πάσης περιστάσεως ταῖς πρὸς τὸν Κύριον, τοὺς ἐν πίστει σοι προστρέχοντας, καὶ ἀσπαζομένους τὴν σὴν λάρνακα.

Νέμεις πάτερ τοῖς χρῄζουσι, τὴν τῶν ἰαμάτων θείων δαψίλειαν, τὰς ψυχὰς ὁμοῦ καὶ σώματα, θεραπεύων πάντων θείᾳ χάριτι.

Ὑπὲρ φύσιν ἠγώνισας, πόνοις κατατρύχων σῶμα τὸ πήλινον, τὴν ψυχὴν δὲ ἀνεπτέρωσας, πρὸς Θεὸν τῶν ὅλων, Πάτερ ὅσιε.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ὡς τὸν κύριον τέξασα, καὶ πρὸς τοῦτον ἔχουσα μόνη πάναγνε, παρρησίαν ὑπὲρ ἅπαντας, εὐμενῶς τοῖς σοῖς δούλοις ἀπέργασαι.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Μόνον τὸν Θεόν, ἔσχες Πάτερ ἐν καρδίᾳ σου, καὶ δι' αὐτοῦ τῶν ἰαμάτων κρουνούς, ὡς ἀπὸ κρήνης ἀναβλύζεις τῆς σῆς λάρνακος.

Νεῦσον ταῖς λιταῖς, τῶν ὑμνούντων σε Ἀντώνιε, καὶ ταῖς σαῖς λιταῖς ἡμῖν ἱλέωσας, τὸν εὐσυμπάθητον Λόγον Θεὸν καὶ Κύριον.

Ὤφθη ἡ σορός· τῶν λειψάνων σου Ἀντώνιε, ὥσπερ πηγή τις ἡμῖν προχέουσα, παθῶν ποικίλων ἀφθόνως ἀεὶ ἰάματα.

Θεοτοκίον.

Ἄνωθεν ἡμᾶς, ἐποπτεύεις Παναμώμητε, καὶ περιέπεις ἀεὶ τὸν κλῆρόν σου, τὸν θεοτόκον κυρίως σὲ καταγγέλοντα.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Τῷ πόθῳ τῷ πρὸς Θεὸν μακάριε, ὥσπερ σκύβαλα τὰ πάντα ἡγήσω, καὶ πρὸς αὐτὸν τὴν διάνοιαν ἔχων, τὰς τῶν δαιμόνων διώλεσας φάλαγγας, καὶ γέγονας ὡς ἀληθῶς, ἰαμάτων πηγὴ ἀνεξάντλητος.

Ὀρέξεις τὰς τῆς σαρκὸς ἐμάρανας, ἐγκρατείᾳ καὶ ἀσκήσει παντοίᾳ, καὶ σεαυτὸν παρεσκεύασας μάκαρ, τοῦ βασιλέως Χριστοῦ θεῖον τέμενος, καὶ νῦν

www.tezaurliturgic.ro

οἰκεῖς τοὺς οὐρανούς, τῆς αὐτοῦ ἀπολαύων λαμπρότητος.

Ὑπῆλθες ἐν νεαρῷ τῷ σώματι, τὸν ζυγὸν σὺ τὸν χρηστὸν τοῦ Κυρίου, ἀπορραγεὶς τῶν φροντίδων τοῦ βίου, καὶ φυγαδεύων εἰς ὄρος ἐμάκρυνας· καὶ μόνος μόνῳ τῷ Θεῷ, νοερῶς ἧς συνῶν καὶ ἡδόμενος.

Θεοτοκίον.

Ναῷ σου τῷ ἱερῷ παρεστῶτες, σοῦ δεόμεθα στερροτάτῃ τῇ πίστει, ῥῦσαι ἡμᾶς τῆς ἐχθρῶν ἐπηρείας, καὶ νοσημάτων παντοίων ἀπάλλαξον. Θεόνυμφε ἡ τὸν Χριστὸν τὸν λυτῆρα τῶν νόσων κυήσασα.

Ὁ Ἱερεὺς μνημονεύει τῶν ὑπὲρ ὧν ἡ Παράκλησις

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον, ἡ σὴ πατρὶς θεοφόρε, ἑορτὴν ὑπέρλαμπρον, τῆς θεοφόρου σου μνήμης, ἅπασαν προσκαλουμένη πόλιν καὶ χώραν, χαίρει γάρ, ὡς κεκτημένη θησαυρὸν μέγαν, τὴν πανέντιμόν σου κάραν, θεόφρον πάτερ Ἀντώνιε, ὅσιε.

Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ΄. 17—23).

Ὅρα τοῦ Μ. Ἀντωνίου. Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ... (Σελὶς 158).

Δόξα Πατρί...

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου...

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός... Καὶ τὸ παρὸν Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Μὴ παύσῃ δεόμενος τοῦ Λυτρωτοῦ καὶ Δεσπότου, Ἀντώνιε, Ὅσιε, τοῖς τὴν θείαν μνήμην σου ἑορτάζουσι, πᾶσι δωρήσασθαι, ἄφεσιν πταισμάτων, αἰωνίαν ἀπολύτρωσιν, τῶν χαρισμάτων τε, τῶν πνευματικῶν τὴν μετάδοσιν, παθῶν τε τὴν κατάφλεξιν, τῶν φρυγόντων νῦν τὴν καρδίαν ἡμῶν, ψυχῶν σωτηρίαν, καὶ θείαν προστασίαν, Ἀγαθέ, ἵνα ὑμνῶμεν γηθόμενοι, τὴν θείαν σου Κοίμησιν.

Τὸ «Σῶσον ὁ Θεὸς τὸν λαόν σου» κ.λ.π. (σελ. 18).

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἑαυτὸν κατακλείσας, στενωτάτῳ σπηλαίῳ, ἐν τούτῳ εἴληφας, τὸ πέρας τὸ τοῦ βίου, τρεφόμενος βοτάνοις, γυμνητεύων τῷ σώματι, ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁλονύκτοις παμμάκαρ, προσευχαῖς ἐτροπώσω, δαιμόνων φάλαγγας, τῶν σὲ ἐπαπειλούντων, εἰς χάος ἀκοντίσαι, καὶ νῦν μέλπεις γηθόμενος· ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὑπὲρ φύσιν ὡράθης, περιὼν ἐν τῷ βίῳ, ἀγωνισάμενος, στενούμενος παμμάκαρ, θλιβόμενος κἂν τοῦ Θεοῦ, πρὸς τὸ πλάτος ἀνέδραμες, τῆς βασιλείας Χριστοῦ εἰς τοὺς αἰῶνας χαίρων.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Νέμεις πᾶσι Παρθένε, συμπαθῶς τοῖς αἰτοῦσι, παθῶν τὴν ἴασιν, ἐν τῷδε τῷ πανσέπτῳ, καὶ θείῳ τεμένει, ἐν ᾧ πίστει κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν.

Ἀποφυγὼν τὰς βιωτικὰς τρικυμίας, εἰς λιμένα θεῖον προσωρμίσθης, κράζων εὐλογεῖτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Νοσοῦσιν ἅπασι χορηγεῖς τὰς ἰάσεις, ὡς ἀκέστωρ θεῖος, καὶ γὰρ ἔσχες, γέρας τῶν σῶν πόνων ἰάσεων τὴν χάριν.

Ὡς εὐπρεπής τε καὶ θαυμαστὸς ὁ ναός σου, ὁ ἐκ κρήνης ἅπασι προχέων, τῆς σεπτῆς σοροῦ σου ἰάματα παντοῖα.

Θεοτοκίον.

Ἡ σωτηρία μου καὶ ἐλπὶς σὺ ὑπάρχεις, Θεοτόκε, ὅθεν σοῦ προστρέχω, τῷ σεπτῷ τεμένει εὑρέσθαι σωτηρίαν.

Ὠδὴ η΄. Κυρίως Θεοτόκον.

Ναὸς ὡς χρηματίσας, τοῦ Θεοῦ τῶν ὅλων, τὸν σὸν ναὸν ἀπειργάσω Ἀντώνιε, νόσων πολλῶν ἰατρεῖον καὶ ἄμισθον.

Ἱκέτευε τὸν κτίστην, ὡς αὐτοῦ θεράπων, τῶν δυσχερῶν ἡμῖν δοῦναι τὴν λύτρωσιν, τοῖς τῷ ναῷ σου τῷ θείῳ πίστει προστρέχουσιν.

Ἀλβία σου ἡ πόλις, καὶ χαρίτων πλήρης, τὴν

www:tezaurliturgic.ro

σὴν σορὸν κεκτημένη Ἀντώνιε· ὡς ὄλβον ἔμψυχον ὄντως καὶ ἀδαπάνητον.

Θεοτοκίον.

Σωτῆρα τῶν ἁπάντων, μόνη τετοκυῖα, τὸν Ἰησοῦν ὑπὲρ φύσιν πανάμωμε, αὐτὸν δυσώπει σωθῆναι τοὺς σὲ γεραίροντας.

Τὸ «Ἄξιόν ἐστιν» καὶ τὰ παρόντα Μεγαλυνάρια.

Ὡς ἐχέφρων Πάτερ καὶ νουνεχής, βίου τὸ ζαλῶδες φυγαδεύων οἷα πτηνός, καὶ ἐν τῇ ἐρήμῳ κατώκησας Παμμάκαρ, νηστείᾳ καὶ δεήσει συνὼν τῷ κτίστει.

Ὑλικῆς δυάδος ὑπεραρθείς, τῆς σαρκὸς τὸ νέφος, ἀποσείσας καὶ τοῦ φωτός, μετασχὼν τοῦ Θεοῦ, τρισμάκαρ ἀσχολεῖσθαι, νυκτός τε καὶ ἡμέρας τούτῳ οὐκ ἔπαυσας.

Βερροιαίων πόλις σὲ θησαυρόν, κεκτημένη μάκαρ, ἐναβρύνεται τῇ σεπτῇ, σῇ σορῷ καὶ χαίρει, ὡς μόνη πλήρης οὖσα, τῶν θείων σου θαυμάτων πάτερ Ἀντώνιε.

Καὶ Θεοτοκίον. Πᾶσαι τῶν Ἀγγέλων... Τρισάγιον. Εἶτα τὸ Τροπάριον Ἦχος γ΄. Θείας πίστεως.

Τὸν ὁμώνυμον τοῦ Ἀντωνίου, καὶ ὁμότροπον ἀναδειχθέντα, τὸν ἐν ἐσχάτοις τοῖς χρόνοις ὡς ἄδυτον, ἀναφανέντα ἀστέρα τοῖς θαύμασιν, εὐσεβοφρόνως ὑμνήσωμεν λέγοντες, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

"Ετερον. "Ομοιον.

"Ισος ἔλαμψας ἐν τῇ ἀσκήσει, νῦν 'Αντώνιε, τῷ συνωνύμῳ, πολιτείαν ζηλώσας ἰσάγγελον, καὶ τῶν ἐνθέων χαρίτων ἠξίωσας, καὶ ἀσθενούντων ἀκέστωρ καθέστηκας· ὅθεν πάντες εὐσεβοφρόνως δεόμεθα, τὴν σὴν διατηρεῖν πατρίδα ἄτρωτον.

Εἶτα ὁ 'Ιερεὺς μνημονεύει ὡς συνήθως καὶ ἐν τῇ 'Απολύσει ψάλλομεν τὸ παρὸν Προσόμοιον.

"Ηχος β΄. "Οτε ἐκ τοῦ ξύλου.

Δεῦτε ὁλοθύμῳ τῇ ψυχῇ, καὶ τῇ προαιρέσει ἀπάσῃ ἤδη ἐκζητήσωμεν, παρὰ τοῦ παμμάκαρος ἐπικουρίας τυχεῖν, τῶν δεινῶν περιστάσεων, αὐτῷ ἐκβοῶντες, σὺ ἡμᾶς ἀπάλλαξον, καὶ ἐλευθέρωσον· ὅπως σαῖς πρεσβείαις πρὸς τὸ θεῖον, τύχωμεν ἀφέσεως Πάτερ, πάντων ὧν ἡμάρτομεν οἱ δοῦλοί σου.